μετὰ τῶν ἀδελφῶν σου ποιῆσαι χρυσίῳ καὶ ἀργυρίῳ, ἐπιτέλει κατὰ
17 τὸ θέλημα τοῦ θεοῦ σου [17]καὶ τὰ ἱερὰ σκεύη τοῦ κυρίου τὰ διδό-
μενά σοι εἰς τὴν χρείαν τοῦ ἱεροῦ τοῦ θεοῦ σου τοῦ ἐν Ιερουσα-
18 λημ. [18]καὶ τὰ λοιπά, ὅσα ἂν ὑποπίπτῃ σοι εἰς τὴν χρείαν τοῦ ἱεροῦ
19 τοῦ θεοῦ σου, δώσεις ἐκ τοῦ βασιλικοῦ γαζοφυλακίου· [19]κἀγὼ δὲ
Ἀρταξέρξης ὁ βασιλεὺς προσέταξα τοῖς γαζοφύλαξι Συρίας καὶ
Φοινίκης, ἵνα ὅσα ἂν ἀποστείλῃ Εσδρας ὁ ἱερεὺς καὶ ἀναγνώστης
τοῦ νόμου τοῦ θεοῦ τοῦ ὑψίστου, ἐπιμελῶς διδῶσιν αὐτῷ ἕως
20 ἀργυρίου ταλάντων ἑκατόν, [20]ὁμοίως δὲ καὶ ἕως πυροῦ κόρων
21 ἑκατὸν καὶ οἴνου μετρητῶν ἑκατὸν καὶ ἅλα ἐκ πλήθους· [21]πάντα τὰ
κατὰ τὸν τοῦ θεοῦ νόμον ἐπιτελεσθήτω ἐπιμελῶς τῷ θεῷ τῷ ὑψί-
στῳ ἕνεκα τοῦ μὴ γενέσθαι ὀργὴν εἰς τὴν βασιλείαν τοῦ βασιλέως
22 καὶ τῶν υἱῶν. [22]καὶ ὑμῖν δὲ λέγεται ὅπως πᾶσι τοῖς ἱερεῦσιν καὶ
τοῖς Λευίταις καὶ ἱεροψάλταις καὶ θυρωροῖς καὶ ἱεροδούλοις καὶ
πραγματικοῖς τοῦ ἱεροῦ τούτου μηδεμία φορολογία μηδὲ ἄλλη ἐπι-
βολὴ γίγνηται, καὶ ἐξουσίαν μηδένα ἔχειν ἐπιβαλεῖν τι τούτοις.
23 [23]καὶ σύ, Εσδρα, κατὰ τὴν σοφίαν τοῦ θεοῦ ἀνάδειξον κριτὰς καὶ
δικαστάς, ὅπως δικάζωσιν ἐν ὅλῃ Συρίᾳ καὶ Φοινίκῃ πάντας τοὺς
ἐπισταμένους τὸν νόμον τοῦ θεοῦ σου· καὶ τοὺς μὴ ἐπισταμένους
24 δὲ διδάξεις. [24]καὶ πάντες, ὅσοι ἐὰν παραβαίνωσι τὸν νόμον τοῦ
θεοῦ σου καὶ τὸν βασιλικόν, ἐπιμελῶς κολασθήσονται, ἐάν τε καὶ
θανάτῳ ἐάν τε καὶ τιμωρίᾳ ἢ ἀργυρικῇ ζημίᾳ ἢ ἀπαγωγῇ.
25 [25]Εὐλογητὸς μόνος ὁ κύριος ὁ δοὺς ταῦτα εἰς τὴν καρδίαν τοῦ
26 βασιλέως, δοξάσαι τὸν οἶκον αὐτοῦ τὸν ἐν Ιερουσαλημ, [26]καὶ ἐμὲ
ἐτίμησεν ἔναντι τοῦ βασιλέως καὶ τῶν συμβουλευόντων καὶ πάντων
27 τῶν φίλων καὶ μεγιστάνων αὐτοῦ. [27]καὶ ἐγὼ εὐθαρσὴς ἐγενόμην
κατὰ τὴν ἀντίλημψιν κυρίου τοῦ θεοῦ μου καὶ συνήγαγον ἐκ τοῦ
Ισραηλ ἄνδρας ὥστε συναναβῆναί μοι.
28 [28]Καὶ οὗτοι οἱ προηγούμενοι κατὰ τὰς πατριὰς αὐτῶν καὶ τὰς

17 τα $1^{0}$] pr. κατα B | του κυριου τα διδ. σοι] σου τα διδ. B†, του κυρ. > *L*† | 18 βασιλικου] ιερου A† || 19 καγω δε (cf. 10 6 27)] και εγω ιδου B† | αρταξ./ο βασ. B*L*†] tr. rel. || 20 και αλα (sic pau.; A*L* αλλα)] > B† | εκ πληθους > B*L*† || 21 παντα τα V†] > B*L*†, τα > rel. | επιμελως > B*L*† | εις] επι A | υιων B† (cf. 6 30)] + αυτου rel. || 22 ιεροψ.] pr. τοις A† | τουτου] του B | επιβολη unus cod.] -βουλη BA (A† om. επι) | γιγνηται A†] γιν. rel. | και ult. > B† | εξουσιαν / μηδενα εχειν] tr. B | τι > B*L*† || 23 δε (cf. 10)] > Bpl. || 24 τον $1^{0}$] pr. και B† | του βασιλικου B† | η αργυρικη] μη αργυριω B†, η αργυριω *L*† || 25 init. B*L*†] pr. και ειπεν εζρας (uel sim.) ο γραμματευς rel.: haec inseruit recensor antiquus, ut sequentia ab edicto distinguerentur (pro γραμματευς scriptor ipse utitur uerbo αναγνωστης 8. 9. 19 9 39. 42. 49) | κυριος B*L*†] + των πατερων μου rel.: cf. II 7 27 | του] pr. μου B† || 26 εναντι B†] -τιον rel. | του βασ. και των συμβουλευοντων (sic pau.; A συμβασιλ.)] των βασιλευοντων B†, του βασιλεως *L*† || 27 του $1^{0}$ > B†